# ΕΠΙΣΤΟΛΑΙ

# ΕΠΙΤΙΜΗΤΙΚΑΙ ΚΑΙ ΠΑΡΑΙΝΕΤΙΚΑΙ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## 78. Ἀνωνύμῳ.

Φοιτῶσιν, ὦ φιλότης, συχνάκις ὡς ἡμᾶς οἱ αὐτόθεν ἐπιστολεῖς· προσορμίζονται δὲ θαμὰ τῇ Προποντίδι καὶ ὁλκάδες, αἱ παρ' ὑμῶν ἀποπλέουσαι· καὶ διαφοιτῶμεν ἐπί τε τοὺς δρομεῖς καὶ τοὺς πλωτῆρας καὶ αὐτῶν ἀναπυνθανόμεθα· ἆρά γε βραχύ τι κομίζουσι γράμμα παρὰ σοῦ λαβόντες; Καὶ τὴν μὲν ὑγίειαν καὶ τὴν τύχην τὴν ἀγαθὴν αὐτῆς ἀκούσαντες, ἄγαν ἡδόμεθα· ὅτι μάλιστα δὲ περιαλγοῦμεν, ὡς πάντη περιπεφρόνηκας ἡμῶν τε καὶ τῆς φιλίας, ἣν ἀποδεδημηκὼς ἡμῖν ἐπηγγείλω. Καὶ ταῦτα παθόντες, ἐπάνιμεν οἴκαδε σκυθρωποὶ καὶ χαμαὶ κεκυφότες καὶ τῆς τοιαύτης ἀχαριστίας θαυμάζοντες. Καὶ δὴ μὴ κατηγορεῖν οὐ δυνάμεθά σε τὸν αὐτόμολον παρά τε φιλίῳ Διῒ καὶ τοῖς αὐτοῦ θιασώταις, τοῖς γε ταῖς εὐνοίαις ὑπερανέχουσιν.

## 79. Κωνσταντίνῳ.

Ὧν με κατηγόρηκας, ἀπέραντόν τινα ψόγον ἐξηντληκώς, μηδένα δίδωμι λόγον. Οὔτε γὰρ εἰκός, οἶμαι, ἅ σοι λίαν ἐπαχθῶς μικρολογοῦντι, τὰ μὲν ἐκ παντὸς βίου καὶ ἐξ ἀπαλῶν αὐτῶν ὀνύχων καὶ μόνον οὐ τῶν σπαργάνων ἤθροισται, τὰ δὲ καὶ σεσυκοφάντηται, τούτοις οὐδὲ ῥαθυμοῦντα προσανασχέσθαι τὸν νοῦν. Ἔστι γὰρ ἁπανταχόθεν ὕποπτά σοι καὶ πέρα που τῆς εὐθείας ὁδοῦ τὰ κατηγορημένα· ἢ γὰρ νῦν ἁμαρτάνεις ἐρῶν, ἢ πρὶν οὐκ ὀρθῶς ἐσιώπας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ
ΙΩΑΝΝΙΝΑ 2006

## 80. Κωνσταντίνῳ.

Πάμπολλα μέν ἐστι καὶ χαλεπά, ὧν ἐμοὶ κατηγορεῖς, ἥττων εἴτε χρημάτων, εἴτε θυμοῦ γενόμενος. Κἂν τούτῳ γέ μοι δοκεῖς, ὥς γε φύσεως ἔχεις, λίαν ἐρραδιουργηκέναι καὶ πολλῇ μηχανῇ πάντοθεν σεαυτῷ θηρεῦσαι καὶ περιάψαι τὰ νικητήρια. Ἀνέκαθεν γὰρ φιλοκατήγορος ὢν καὶ μεμψίμοιρος, τούτῳ αὐτῷ τῷ καὶ πάντας βεβλασφημηκέναι τεθρυλῆσθαί σοι [1]) τὸν βίον διὰ σεμνότητος ἔχεις καὶ κομπάζεις ἐπὶ τῷδε, καὶ ἡ σπουδή σοι καὶ λέγοντι καὶ πράττοντι εἰς τουτονὶ διατείνεται τὸν ἀγῶνα. Καὶ οἴει σὲ μὲν πάντως ἐκνικῆσαι τῆς δίκης ἐπιτετευχότα μηδὲν μᾶλλον ἢ ἀποπεπτωκότα, ἐμὲ δέ, καὶ μὴ ἁλόντα, πάντως ἡλαττῶσθαι, ὅτι γε κατηγόρημαι. Ἀλλ' ὢ τύχης, [2]) τῆς ἐμοί ποτε βασκαινούσης τὸ ἀκόντιον, καὶ σοὶ δὴ χρωμένης μιαρίας [3]) ὀργάνῳ!

Ἐμοὶ μὲν οὖν ἃ βεβίωται καὶ πεπολίτευται ἔλεγχός ἐστιν ἀποχρῶν καὶ τρόπου καὶ γνώμης· σοῦ δὲ τὸ ἦθος ἱκανὰ καὶ ταῦτα πᾶσιν ἐκφαυλίσαι, ὡς οὐ πολλῶν ἕνεκα χρημάτων, οἷα μέθῃ τῷ θυμῷ παρενεχθέντα, καὶ νόμων ἠφειδηκέναι καὶ παλαιᾶς συνηθείας καὶ γλώττης αὐτῆς.

---

## 81. Ἀνδρονίκῳ.

Τοῖς κρείττοσιν ἴσοι καὶ ὅμοιοι φιλοῦσι δοκεῖν οἱ πολλοί· καὶ ὧν αὐτοὶ φεύγουσι τὰς δίκας, τῶνδε τῶν ἐγκλημάτων σφᾶς ἀναίδην εἰσαγγέλλονται, ὅπως τῇ κοινωνίᾳ τῆς αἰτίας συγκαλύπτειν ἔχοιεν καὶ συγκρύπτειν τὴν βδελυρίαν τὴν αὐτῶν.

---

[1]) «βεβλασφημηκέναι καὶ τεθρυλῆσθαι»

[2]) «Ἀλλὰ τύχης».

[3]) «μωρίας»

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Μῶν αὐτὸ τοῦτο καὶ Ἀνδρονίκῳ τῷ ἡμετέρῳ κατηγόρῳ μὴ διαπεπόνηται; εἰςδείκνυται γὰρ ἡμᾶς ὧν αὐτὸς ὀφείλει τὰς εὐθύνας· καὶ φιλία γὰρ αὐτῷ ἐν μηδενὶ τέθειται λόγῳ, χρῆμα τὸ ἄχραντον καὶ μέγα Ἕλλησί τε καὶ βαρβάροις σεμνολόγημα· καὶ ὕβρεσι καὶ λοιδορίαις τοὺς μηδέν τι ἐς αὐτὸν ἠδικηκότας ἀφθονώτατα διασύρει καὶ διαβάλλει.

Οὐ μὴν οὐδὲ ταύτῃ τῇ κιβδηλίᾳ παρανοθεύειν ἔχει τἀληθές· ἀλλ' οὓς μὲν αὐτὸς ἐν αἰτίᾳ ποιεῖται, τούτους ἀνυπευθύνους καὶ ἀναιτίους ἡ ἐξ ὕψους ἀπολύει ψῆφος, αὐτῷ δὲ τὰς τιμωρίας ἐπάγει, ἃς οἱ νόμοι τάττουσιν οἱ καθ' ἡμᾶς, καίτοι δικαστοῦ καὶ λειτουργῶν ἐστερημένων ἡμῶν διὰ τὴν ἐπικρεμαμένην τοῖς ἡμετέροις αὐχέσι καταδυναστείαν. Καὶ τέθνηκεν ἄρα κατὰ τῆς θυρίδος ἐξωσθεὶς ὁ παῖς ὁ Ἀνδρονίκου, (*καὶ τὴν οἰκίαν ἐπενεμήθη πῦρ ἐπιὸν τὴν Ἀνδρονίκου,*) καὶ ἁλοὺς Ἀνδρόνικος ἐλαύνεται παρὰ τὸ ἀρχεῖον καὶ καταιτιάζεται ὧν οὐχ ἡμάρτηκεν. Ἀλλὰ καὶ ταῦτα πεπονθὼς οὐκ ἀνανήφει, οὐδὲ σωφρονεῖ, οὐδέ γε τῆς κρείττονος μοίρας μεταλαγχάνει Ἀνδρόνικος.

---

## 82. Ἀνδρονίκῳ.

Ἐγκαλεῖς ἔμοιγε διὰ πολλῶν, ὦ 'γαθέ, ὅτι δὴ τῶν σοὶ πεπραγμένων πικρότερον ἐφάπτομαι καὶ διασύρω τὰ πολλά, καὶ οὐκ ἂν ἔξαρνόν με γενήσεσθαι τῶν λεγομένων χαλεπὸν διατείνει τὸν ἔλεγχον. Καὶ γὰρ δεδηλῶσθαί σοι φῂς τὰ ῥηθέντα οὐχ ἧττον ἀπὸ γλώττης ἢ γραμμάτων παρὰ τῶν σοί τε κἀμοὶ πιστοτάτων.

Τοσοῦτον δέ τοι τοῦ ἀποφάναι τι ἢ συγκρύψαι δέω, ὥςτε ταῦτα διαρρήδην αὐτὸς ὁμολογῶ διηγήσασθαι. Καὶ τῆς σῆς ἐπιδόσεως πολὺν ἀεὶ πεποιηκὼς λόγον, ἐπειδὴ οὐ μόνον αὐτὴν ὅλως παρημελῆσθαι καὶ ἐν μηδενὶ τεθεῖσθαι μεμάθηκα, ἀλλὰ καὶ εἰς τἀναντία πάντως τραπῆναι καὶ ἀφηνιάσαι, ἀρετῆς γεγονότα δραπέτην, καὶ ἔτι φθόροις ἀνδράσιν (οἳ

(*····*) Ἐλλείπει ἐν τῷ Ἐπιστολαρίῳ.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚΟΥΡΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν σφῶν τύχην ἀποκυβεύσαντες,[1]) τῇ δὲ ἀλλοτρίᾳ πάσαις ἐπινοίαις ἐνεδρεύοντες, ὑπορύττειν αὐτὴν ἐπείγονται, καὶ ἐκπολιορκοῦσι δὲ δεινῶς τῆς ψυχῆς τὴν ἀκρόπολιν κύκλῳ περικαθήμενοι) συνόντα σε καὶ συνομιλοῦντα ἀκούσας οὐ μετρίως ἠχθέσθην.

Ταῦτά μου τὴν ψυχὴν κατέδηξε· ταῦτα τὴν γλῶτταν ἐπαίρειν ἠνάγκασε· καὶ ὥςπερ ἀληθῶς ἐρεῖς τῶν ἀμφοῖν ἡμῖν γνησιωτάτων καὶ εὐνουστάτων τὰ ὦτα μυρίων ὀλοφυρμῶν ἐμπέπληκα. Τί δὴ ταῦτ' ἐξ ὑπογυίου πέπονθεν ὁ ἡμέτερος Ἀνδρόνικος; πόθεν εἰς τὴν νῦν μεταπεποίηται μορφήν; καί, οἷα Πρωτεὺς ἄλλος, ποικίλην ἐξαλλαττόμενος ἰδέαν, μηδεμίαν ἀβελτερίας ὑπερβολὴν ἀπέλιπεν ἄπρακτον;

Τοιάδε γὰρ περὶ σοῦ διΐασι καὶ φίλοι καὶ δυσμεναίνοντες, ὅτι ἅμα μὲν ἔξω προσαναλίσκεταί σοι τὸ πολὺ τῆς σπουδῆς τὴν κόμην εὐθετοῦντι καὶ τὰς παρειὰς ἀλλοτρίοις καλλωπίζοντι χρώμασιν· καὶ μυρίος σοι πόνος[2]) ὁ περὶ τὴν ἐσθῆτα κόσμος. Εἶτα μετὰ τῶν ἐρασμιωτάτων σοι κολάκων ἀνθοσμίου καὶ καρυκευμάτων ἐμφορηθείς, χρυσοχαλίνοις ἐποχούμενος κέλησι καὶ τὰς κυνηγετικὰς[3]) ἐφελκόμενος κύνας, ἄνω καὶ κάτω περιστρέφεις τὰς προαυλίους ὕλας, καὶ πάλιν ἐπὶ φιλοτησίας τραπέντι τοῖς ἀρίστοις σοι τὰ δεῖπνα προστίθεται, καὶ νυκτὸς ὅλης ἡδοναῖς ἀκολάστοις καὶ ὀρέξεσιν ἀκορέσοις ἐγκαλινδούμενος κώθωνος[4]) πέρας ἔχεις τὴν μέθην.

Ταῦτ' οὖν ἀκροώμενος σοί τε καὶ τοῖς σὲ φιλοῦσι συνάχθομαι ἀντὶ τοῦ πρὶν γεννάδα βλᾶκά τινα γεγενῆσθαι καὶ θηλυδρίαν περιπυθόμενος. Βαβαὶ ποῖ διαπέφευγεν ἡ πρὶν Ἀθηνᾶ, Ἀφροδίτῃ καὶ Ἔρωτι καὶ Ἀδώνιδι συνεῖναι μηδαμῶς ὑποστησαμένη; Ποῖ διέδρασαν αἱ συνήθεις πάλαι Μοῦσαι, τοῦ νῦν ὁμοροφίου σοι Βάκχου τὴν μέθην καὶ τοὺς ἐμέτους φέρειν οὐ δυνάμεναι; Ποῖ δὲ αἱ Χάριτες, Μαινάσι καὶ Ἐρινύσι συνοικεῖν οὐκ εἰδυῖαι;

[1]) «τὴν σφῶν ψυχὴν ἀποκυβιστήσαντες»

[2]) «μυρίοις σοι πόνοις»

[3]) «τοὺς κυνηγετικοὺς»

[4]) Κακῶς κεῖται ἐν τῷ Ἐπιστ. «κώτυος πέρας ἔχεις τὴν μέθην.» Κώθων ποτήριον λακωνικόν (Ἀθήν. ΙΑ, 66)· κώθων ἐκαλεῖτο ἔπειτα αὐτή τε ἡ πολυποσία καὶ ὁ μέθυσος, ὁ καὶ «ἀκρατοκώθων» λεγόμενος. Ἐντεῦθεν καὶ «κωθωνίζεσθαι» ἤτοι μεθύσκεσθαι.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Καὶ ταῦτα μὲν ἡ φήμη διαγγέλλουσα, φεῦ, ὅσον ἡμᾶς ἐλύπησεν! Ἃ δὲ καὶ κατὰ νοῦν ἀναπολοῦμεν, καὶ ταῦτ' οὐδὲν ἧττον ἠνίασε τοὺς εὐνοοῦντας. Τοῦ γὰρ πατρῴου πλούτου παντὸς ἀπερρυηκότος, διαδέξεταί σε νοσοῦντα καὶ κεκυφότα ἡ ὠχροτάτη πενία· καὶ τὰς ἀρχὰς ἀμωσγέπως σε περικαλύψασα ράκεσι πιναροῖς, μετ' οὐ πολὺ ἐκδυσαμένη, γελοῖον ἅμα τοῖς στυγοῦσι περιδείξεται καὶ ἄθλιον.

Μὴ τοίνυν, ὦ καλέ, τοῖς τὰ τοιαῦτα κατηγοροῦσι καὶ ἀναπτύσσουσί σοι, τῷ ὑφ' ἡδονῆς εὖ μάλα τυφλώττοντι, οὐ δικαίαν οὐδ' ἀξίαν ἐπίτριβε μομφήν· ἀλλὰ σεαυτὸν καὶ ἡμᾶς ἐπαιδούμενος, ἐπὶ τὸν πρότερον ἐπάνιθι τρόπον, ὅπως ἀρετῇ καὶ σεαυτῷ καὶ ἡμῖν ἀποζήσῃ λαμπρῶς, μᾶλλον δὲ τῷ δεδημιουργηκότι Θεῷ τήν τε πρόσκαιρον καὶ τὴν ἀθάνατον ἔπειτα ζωήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

---

## 83. Τῷ δικαιοφύλακι Κ. Χουρμούζῃ.

Προςηνὴς σύ, κἀγὼ προςηνέστερος· ἀγνωμονεῖς σύ, κἀγὼ ὀργίζομαι. Οἱ πάτταλοι, φασί, παττάλοις ἐκκρούονται.

---

## 84. Ἰακώβῳ τῷ διδασκάλῳ.

Τῶν ὑπηργμένων ὁπόσοι τὰς χάριτας ἀποτίνουσιν, [1] ἀντὶ μεγάλων ἐν δέοντι σμίκρ' ἄττα προςαποδιδόντες, ἀπαλλάσσονται μετ' ἐγκωμίου τῆς βαρείας ὀφειλῆς. Καὶ δῆτα πολλάκις μέγα κλέος εὐγνωμοσύνης ἤραμεν ἑνὶ ῥήματι καιρίως [2] ἐκφωνηθέντι.

---

[1]) Ἐπ. καὶ Χειρ. «ἀποτίουσιν»

[2]) Ἐπ. «καιρίῳ», Χειρ. «κυρίως»

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Σὺ δ', ὦ 'γαθέ, καιρὸν ἁρμόζοντα τῆς τύχης δωρουμένης, ὥστε ὧνπερ παρ' ἡμῶν εὖ πέπονθας ἀντιδιδόναι τὰς χάριτας, καὶ βραχεῖ γραμματίῳ καὶ σμικρῷ πονήματι μεγάλας εὐεργεσίας ἀμείψασθαι δυνάμενος, ὑπὸ λήθης ἢ ῥᾳθυμίας τὸν ἐπιόντα καιρὸν παρατρέχεις, καὶ σιγῇ χρώμενος ἀκαίρῳ, ἀχαριςίας ἀνεκπλύτῳ καὶ ἀνεξιτήλῳ μώμῳ διὰ τοῦτο περιπέπτωκας. Ἀλλὰ λύχνου χρείαν ἔχων, ἔλαιον ἐπιχέειν μηδέποτ' ἐπιλέλησο· καὶ μνήμην εὐεργέτου εἰ μὴ θάλψεις συχνοῖς ἐναύσμασιν, οὐκ εἰς μακρὸν αἰσθήσῃ τὴν ἀπὸ λήθης βλάβην. Γράφε τοίνυν ἀναζωπυρῶν τε καὶ ἀναρριπίζων αὐτήν, τῶν τε ἡγησαμένων χάριν ἀντιδιδοὺς καὶ μέλλουσαν εὑρισκόμενος ὠφέλειαν.

Εἰ δὲ καὶ ταῦτα νουθετούμενος οὐκ ἀνανήφεις, ἀλλὰ τῇ λήθῃ πεπέδησαι, καὶ διατελέσεις σιωπῶν, ἴσθι, ὡς ἡ στοργὴ λήθης ἐστὶν ἀνεπίδεκτος, καὶ παρημελημένη σβέννυται μηδὲν ἔλαττον, ἢ ἐλαίου μὴ ἐπιχεομένου σβέννυται λύχνος. Ἔρρωσο.

---

## 85. Ἀνωνύμῳ.

Τοῦ μὲν οὖν εἰδέναι ἡ δόκησις, ἐξ ἁπαλῶν ἡμῖν ὀνύχων ἐπισκήψασα, τῇ ἐπιδόσει τῆς ἡλικίας κοινὴν ἔχει τὴν αὔξησιν. Ἀλλὰ καὶ ὁπόσα ἔτι μειρακευομένοις ἔδοξεν ἐπίστασθαι, εἴτε φαῦλα, εἴτε ψευδῆ ταῦτ' εἶεν, ὑπὲρ αὐτῶν μηδεμία τις ἔπεισιν ἀμφιςβήτησις· ἀλλὰ καλὰ κἀγαθὰ καὶ ἀληθῆ καὶ ἀκέραια φαίνεται πάνθ' ἡμῖν, καὶ οὐκ ἐν ἀμφηρίστῳ κεῖται, οὐδ' ἀμφίλογον ἔχομεν τὴν περὶ αὐτῶν γνῶσιν. Καὶ πῆξιν δὲ ἐνδοτάτω λαμβάνει στεγανὴν ἐπὶ τοσοῦτον, ὥστε τὰ ἐκ βρέφους ἐναποτεχθέντα τῷ νῷ ἢ οὐδέποτε, ἢ οὐκ εὐμαρῶς ἀνασπᾶσθαι τῆς ψυχῆς, ἀλλ' ἐπὶ μήκιστον αὐτῇ παραμένειν καὶ μέχρι γήρως. Ὀψὲ δέ ποτε, φιλοσόφῳ θεωρίᾳ τινὲς ὡμιληκότες, τῶν, ὧν ἤδη μεμαθήκαμεν, τὴν ἐναντίαν τρεπόμεθα, καὶ τὰ πρὶν ἀληθῆ δόξαντα ἢ ἀγαθά, ψευδῆ τε καὶ φαῦλα τυγχάνοντα διδασκόμεθα.

Τούτῳ γοῦν, ὦ καλέ, τῶν πολλῶν διαφέρομεν, τῷ περὶ πάντων, ὧν ἔγνωμεν, ἐπαπορεῖν καὶ διστάζειν. Ὡς γάρ, ἐπειδὰν τελῶμεν ἐν βρέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΑΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φεσιν, ἅπερ ἐπιστάμεθα περὶ αὐτῶν, μηδὲν ὅλως ἠμφιγνοηκότες ἐσμέν, ἀλλ' ἣν ὕστερον ἀκμάζοντες ὀρθοῖς ἐντύχωμεν δοξάσμασι, τούτων τἀναντία φρονοῦμεν· οὕτω τοι καὶ ὧν ἐγκρατεῖς ἀκμαζούσης ἡλικίας ἐγενόμεθα, ταῦτα βασανίζει καὶ ἐπανορθοῖ βίος ὁ ἐπιών. Τοῦτο ἓν ἄρα εὖ ἴσθι καὶ μέμνησο διὰ παντός, ὅτι περὶ παντὸς ἀμφισβητοῦντας ἀναγκαῖόν ἐστι κινῆσαι τὰς ἀξίας ἐξετάσεις, καὶ τὰ πάνυ τῇ ἀληθείᾳ ἐοικότα ὡς οὐκ ὄντα γε ὑποτιθεμένους, ἵνα τῆς ἀληθείας μετουσία τις ἡμῖν ἐγγένηται.

**Μὴ** τοίνυν οὕτω καταναιδεύου τῆς ἀρίστης ἀληθείας, ὡςπερανεὶ διὰ παντὸς κύριος εἴης αὐτῆς, ἀλλὰ τὴν ἀπάτην φοβοῦ κἀν τοῖς προςεοικόσιν αὐτῇ τῇ ἀληθείᾳ. Καὶ χαῖρέ γε εἰπὼν τοῖς, οἷς ἀεὶ κέχρησαι λεξειδίοις, τῷ καταφανὲς καὶ πασίδηλον καὶ ἀναμφήριστον καὶ ἀναμφίλογον, ἀντὶ τούτων ἔστω σοι συνήθη τὸ δοκεῖ καὶ φαίνεται καὶ τάχα καὶ ἴσως καὶ ἢ ἄρα καὶ τὰ τούτοις ἀδελφά. Καὶ τοιούτοις ἐθίσας τὸν λόγον, εἰ μὴ διαληθεύεις, ἀλλ' οὖν οὐδὲ ψεύσῃ ποτέ. Ἔρρωσο.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006